τοῦ Ἁγίου ἐνδόξου καὶ καλλινίκου Μάρτυρος Θεοφίλου· οὗ ταῖς ἁγίαις πρεσβείαις ἐλεήσαι καὶ σῶσαι ἡμᾶς ὁ Θεὸς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.

Πυρπολούμενος, τῷ πόθῳ τοῦ Δεσπότου σου Μάρτυς Θεόφιλε, ὑπεκβαλούσης φλογὸς, τὴν θέαν οὐκ ἔδεισας, ἀλλὰ ἀπτόητος, εἰσεπήδησας, καὶ ἐν αὐτῇ ἀνέμελπες, ὁ Θεὸς εὐλογητὸς εἶ.

Στέφος ἄφθαρτον, ἐδέξω καὶ ἀκήρατον, Μάρτυς Θεόφιλε, παρὰ Χριστοῦ τοῦ Θεοῦ, τὸ πῦρ γὰρ τὸ ἄστεκτον σὺ κατεπάτησας, καὶ κραυγάζων ἦς, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Δεῦτε ᾄσμασι, καὶ ὕμνοις εὐφημήσωμεν τὸν νέον Μάρτυρα, τῆς Χίου ὄντα λαμπρὸν, καὶ ἔνδοξον καύχημα καὶ σεμνολόγημα ἣν ἡγίασε, ἰχῶρσι τῶν σαρκῶν αὐτοῦ, καὶ τοῖς λύθροις τῶν αἱμάτων. Θεοτοκίον.

Μαστιζόμενος, εἱρκτῇ τε ἐγκλειόμενος καὶ κακουχούμενος, Παρθενομῆτορ ἁγνὴ, ὁ θεῖος Θεόφιλος, καὶ φλογιζόμενος ἀνεκήρυττε, τὸν σὸν Υἱὸν θεάνθρωπον, καὶ σὲ ὄντως Θεοτόκον. Ὠδὴ ή. Παῖδας εὐαγεῖς.

Δόξης ἀπροσίτου ταῖς ἀκτῖσι, Τριάδος τῆς παναγίας ἐλλαμπόμενος, Μάρτυς ἀξιάγαστε, καὶ ἡμᾶς καταύγασον, τοὺς πόθῳ εὐφημοῦντάς σου τὴν θείαν Ἄθλησιν, παθῶν ἀμαυρωθέντας τῷ ζόφῳ, ταῖς σαῖς εὐπροσδέκτοις, πρεσβείαις Ἀθλοφόρε.

Θεόφιλος ὤφθης φερωνύμως, φιλίαν τε καὶ ἀγάπην ἐνδειξάμενος, ἔνδοξε Θεόφιλε, πρὸς Χριστὸν τὸν πλάστην σου, μεγίστην προελόμενος ζωῆς τὸν θάνατον, καὶ ἔθυσας σαυτοῦ τὴν φωσφόρον ψυχὴν, ὥσπερ θῦμα, πανάμωμον καὶ θεῖον.

Τοὺς πόθῳ τὴν μνήμην σου τελοῦντας, καὶ πίστει εἰλικρινεῖ τὸ θεῖον Λείψανον, Μάρτυς προσκυνοῦντάς σου, φύλαττε Θεόφιλε, ἐκ πάσης περιστάσεως καὶ ἐκ παντοίων παθῶν. Πρεσβείαις σου πρὸς Κύριον θείαις, ᾧ νῦν σὺν Ἀγγέλοις παρίστασαι ἐν δόξῃ. Θεοτοκίον.

Τρανῶς ἀνεκήρυξε Παρθένε, τὸ μέγα μυστήριον τοῦ τόκου σου ὁ κλεινὸς Θεόφιλος, ἐν φλογὶ καιόμενος, τῶν ἀσεβῶν δὲ ἤλεγξε τὴν ἀθεότητα, ὡς Κύριον πάντα τὰ ἔργα ὑμνεῖτε, κράζων παρρησίᾳ Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ.΄ Ἅπας γηγενής.

Ἀρέπῃ εὐκλεῶς, ἔνδοξε Θεόφιλε, καρποὺς τῶν πόνων σου, νῦν ἐν τῇ πραέων γῇ, καὶ χώρᾳ ζώντων συναυλιζόμενος, ἔνθα Ἀγγέλων τάγματα, Ἁγίων ὅμιλος, Ἀποστόλων, Προφητῶν, Μαρτύρων τε, καὶ Ὁσίων οἱ δῆμοι ἀγάλλονται.

Λύσιν τῶν δεινῶν, Ἅγιε Θεόφιλε, δίδου πρεσβείαις σοῦ, τῷ τὴν σὴν κοσμήσαντι, ἐν θείοις ὕμνοις σεπτὴν πανήγυριν, καὶ τοῖς θερμῶς προστρέχουσι, καὶ ἐκτελοῦσί σου μετὰ πόθου, μνήμην τὴν πανίερον, καὶ ζωῆς αἰωνίου ἀπόλαυσιν.

Ἆρον πρὸς Θεὸν, μέγιστε Θεόφιλε, χεῖρας ἱκέτιδας, ὑπὲρ τῶν τελούντων